λάβοι τοὺς τε θρίους παρείει. ἐφ' ᾧ διπλῆ ἔξω νενευκυῖα. ὑπερβαλεῖσθε δὲ νικήσετε. ἐκ μεταφορᾶς τῶν τρεχόντων. Η μή ποτ' ἀγοραίου.] ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ ἀγορᾷ καὶ ἐν τῇ ἐκκλησίᾳ. Εγωγε νὴ τοὺς κονδύλους.] ὁ ἀλλαντοπώλης ἐστὶν ὁ λέγων. ἀποτείνεται δὲ πρὸς τὸν Κλέωνα καὶ φησὶν ὅτι οὐχ ὥσπερ ἐκεῖνος τὴν δόξαν ῥαδίως εὗρε, τὸν αὐτὸν καὶ αὐτὸς εὐδοκίμησε τρόπον. ἀλλὰ πολλὰ ποιήσας καὶ πολλοὺς κινδύνους ὑποστὰς καὶ κατορθώσεις τε πολέμων πλείονας. αἰνιττόμενος τὰ περὶ Ακαρνᾶνα καὶ Αἰτωλίαν καθ' ὧν εὐδοκίμησε, στρατηγῆσαι φθάσας.

A ἄλλως. ἀποτείνεται πρὸς τὸν Κλέωνα ὁ ἀλλαντοπώλης. ὅτι ἐκεῖνος μὲν εὐκόλως ἐστρατήγησεν. αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ τυπτηθεὶς ἐν τῷ μαγειρείῳ. Απὸ μαγδαλιᾶς.] ἀπὸ εὐτελοῦς τροφῆς ὁρμώμενος. μαγδαλιὰ γὰρ, τὰ τῶν ἀλφίτων ἀποβλήμια. ἄλλως. ἡ τῶν κυνῶν τροφή. ἥτις ἦν στὰς καὶ λίπος. οὕτω καὶ ὁ ποιητὴς εἶπεν. αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον, τὸ στὰς ἀπεψῶντο καὶ τὸ λίπος, καὶ τοῖς κυσὶν ἐπέρριπτον. ἄλλως. τὸ στὰς, ὃ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν, ἐπερρίπτουν τοῖς κυσίν.

B

Κυνὸς βορὰν σιτούμενος, μάχει σὺ κυνοκεφάλῳ;

Αλ. Καὶ νὴ Δί' ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.

Ἐξηπάτων γὰρ τοὺς μαγείρους, ἐπιλέγων τοιαυτί.

C Σκέψασθε παῖδες, οὐχ ὁρᾶθ' ὥρα νέα, χελιδών.

Οἱ δ' ἔβλεπον. κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

Χο. Ω δεξιώτατον κρέας, ὡς σοφῶς γε προυνοήσω.

Ωσπερ ἀκαλήφας ἐσθίων, πρὸ χελιδόνων ἔκλεπτες.

D Αλλ. Καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'. εἰ δ' οὖν ἴδοι τις αὐτῶν,

Αποκρυπτόμενος εἰς τὰ κοχώνα, τοὺς θεοὺς ἀπώμνυον.

Ως εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα,

Οὐκ ἔσθ', ὅπως ὁ παῖς ὅδε, οὐ τὸν δῆμον ἐπιτροπεύσει.

*Tu, qui canis esca victitas, canicipiti repugnas?*

*AG. At per Iouem etiam in me puero versutiæ fuerunt.*

*Coquos enim fefelli, sic dolose adeos locutus:*

*Spectate pueri: non videtis ver: noua adest hirundo:*

*Illi videbant: interim ego carnes furtim auferebam.*

*CH. O commodam carnem, vt lepidum dolum tu excogitasti:*

*Quasi qui urticas comedens, ante hirundines carnem auferebas.*

*AG. Et hæc cum admisissem, latebam: sin vidisset horum*

*Aliquis: occultassem sub femore, Deósque peierassem.*

*Hoc cum animaduertisset me quispiam fecisse Rhetor:*

*Dicebat, non est, vt puer hic vrbem non administret.*

E

Σχόλια. Κυνοκεφάλῳ.] ἑαυτὸν ὁ Κλέων λέγει κυνοκέφαλον. δεινὸν καὶ ἀναίσχυντον. ὁποῖος ἦν ὁ παρ' Ησιόδῳ Γηρυονεύς. χρυσάωρ δ' ἔτεκε τρικέφαλον Γηρυονῆα. ἄλλως. τῷ κυνὸς κεφαλὴν ἔχοντι. τουτέστιν. ἐμοὶ τῷ Κλέωνι. ἀφ' ἧς δὲ προείρηκε τροφῆς, κυνοκέφαλον αὐτὸν εἶπεν. ἐπὶ ἰταμὸν καὶ ἀναιδῆ καὶ ἁρπακτικόν. ἐπεὶ καὶ τὸ ζῶον, τοιοῦτον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, πῶς οἷόν τε φησὶν εἰ κυνὸς τροφὴν ἐσθίων τῷ ὁμογενεῖ καὶ ὁμοτρόπῳ μάχεσθαι διανοῇ. λέγει δὲ κυνὶ. ἐπὶ πονηρῷ καὶ βιαίῳ. κόβαλα δὲ, σοφίσματα πανουργεύματα. κλέμματα. καὶ κοβαλεία ἡ προσποίητος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. Φιλόχορος ϛ Ατθίδος. οὐ γὰρ ὥς ἔνιοι λέγουσι βωμολόχον τινὰ καὶ κόβαλον νομιστέον τὸν Διόνυσον. Αριστοτέλης δὲ ἐν δευτέρῳ ζώων ἱστορίας τὸν ωτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα, αὐτορχούμενον ἁλίσκεσθαι. Νέα χελιδών.] παροιμιῶδες. ὁλόκληρος δέ ἐστι παροιμία τὸ λεγόμενον. ἔστιν ἔαρος ἀρχή. δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι χελιδών. Οἱ δ' ἔβλεπον.] ἑώρων. ὑπὸ τῆς περιεργίας ἐξαγόμενα τὰ παιδία, τῇ θέᾳ τὸν νοῦν προσεῖχον, πότε χελιδὼν παραπτήσεται. κἀκείνων περὶ τοῦτο ἐπτοημένων, ῥᾷστον αὐτὸς εἶχε τὸ κλέπτειν. Ω δεξιώτατον κρέας.] ὦ κάλλιστον καὶ σοφώτατον κρέας διὰ τὸ κἀκεῖνον κεκλοφέναι, καὶ ὥσπερ δεξιᾷ χειρὶ ὑφῃρῆσθαι. ἀντὶ ὦ σοφώτατε ἄνθρωπε. Ωσπερ ἀκαλήφας.] βοτάνης εἶδος, αἳ παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. ἐμνημόνευσε δὲ τῶν ἀκαλήφων, διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου καὶ τὴν ἀγχίνοιαν, ὅτι κλοπῆς ἐξεῦρε τρόπον. δριμεῖα γὰρ ἡ βοτάνη, καὶ τοὺς θίγοντας κνᾶσθαι ποιεῖ. εἶπε δὲ πρὸ χελιδόνων, ἐπεὶ μετὰ τὴν χελιδόνα ἄβρωτοι αἱ κνίδαι. ἄλλως. ἀκαλήφη εἶδος μυίας. ὡς Αριστοτέλης. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοι εἰσίν, ἐν δὲ τῷ θέρει ἀπόλλυνται. ἄλλως. λάχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἡ προσελθοῦσα τῷ χρωτὶ, κνισμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι.

F ἄλλως. ἀκαλήφη. κνίδη. καὶ ἡ χερσαία καὶ ἡ θαλαττία. ἥτις ἐστὶ κογχύλιόν τι. Φερεκράτης Αὐτομόλοις. νὴ τὴν Δήμητρ' ἀνιαρὸν ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν. βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι. τὰς δὲ θαλαττίας καὶ Αριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ περὶ ζώων, καὶ Θεόφραστος ἐν ἑβδόμῳ φυτικῶν. Εἰς τὰ κοχώνα.] κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον καὶ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης, καὶ ἐν σκηναῖς καταλαμβανούσαις. ἀλλὰ συσπᾶσθαι δεῖ τὰς κοχώνας. αἱ αὐταὶ δὲ καὶ

G πύγαια καὶ προχῶναι παρ' Αρχίππῳ καλοῦνται. οὐδετέρως δὲ ἔφη τὰ κόχωνα. Επιτροπεύσει.] προηγήσει. προστατήσει. οὐκ ἀργῶς δὲ ἐπὶ ἔνδοξον πρόσωπον τὴν τοιαύτην ἀνήγαγε κρίσιν. οὐ γὰρ ἰδίως φησὶ τινὰ εἰρηκέναι. ἀλλὰ ῥήτορα, καὶ προϊδεῖν καὶ συνιέναι πλέον τῶν ἄλλων δυνάμενον. διὰ δὲ τούτων λεληθότως φησὶν ὅτι καὶ οἱ στρατηγοὶ ἐπίορκοι.

Χο. Εὖ-